## LOS TRABAJOS DE HERACLES:
### 5º LOS ESTABLOS DE AUGIAS.

Πέμπτον ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγείου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν **ὄνθον**. ἦν δὲ ὁ **Αὐγείας** βασιλεὺς **Ἤλιδος**, ὡς μέν τινες εἶπον, παῖς **Ἡλίου**, ὡς δέ τινες, **Ποσειδῶνος**, ὡς δὲ ἔνιοι, **Φόρβαντος**, πολλὰς δὲ εἶχε βοσκημάτων ποίμνας. Τούτῳ προσελθὼν **Ἡρακλῆς**, οὐ δηλώσας τὴν **Εὐρυσθέως** ἐπιταγήν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ δώσει τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγείας δὲ ἀπιστῶν ὑπισχνεῖται. Μαρτυράμενος δὲ Ἡρακλῆς τὸν Αὐγείου παῖδα **Φυλέα**, τῆς τε αὐλῆς τὸν θεμέλιον διεῖλε καὶ τὸν **Ἀλφειὸν** καὶ τὸν **Πηνειὸν** σύνεγγυς ῥέοντας παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι᾽ ἄλλης ἐξόδου ποιήσας. Μαθὼν δὲ Αὐγείας ὅτι κατ᾽ ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου, προσέτι δ᾽ ἠρνεῖτο **καὶ** μισθὸν ὑποσχέσθαι δώσειν, καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι.

## NOTAS

ὄνθος, -ου ἡ *estiércol*

Αὐγείας, -ου ὁ *Augias*

Ἦλις, Ἤλιδος ἡ *Hélide*, región del Peloponeso

Ἥλιος, -ου ὁ *Helios*

Ποσειδῶν, -ονος ὁ *Poseidón*

Φόρβας, -αντος ὁ *Forbante*

Ἡρακλῆς, -έους ὁ *Heracles*

Εὐρυσθέυς, -έως ὁ *Euristeo*

Φυλέυς, -έως ὁ *Fileo*

Ἀλφειος, -ου ὁ *Alfeo*, es un río

Πηνειός, -ου ὁ *Peneo*, es un río

καί adv. = *también*